22/01/2026

# Χειροτονία Διακόνου στον Καθεδρικό Ναό του Μπέρμιγχαμ

Οικουμενικό Πατριαρχείο / Αρχιεπισκοπή Θυατείρων



**Την Τετάρτη, 21η Ιανουαρίου, ημέρα κατά την οποία η Εκκλησία τιμά τη μνήμη του Οσίου Μαξίμου του Ομολογητού, ο Καθεδρικός Ναός του Αποστόλου Ανδρέου στο Μπέρμιγχαμ βίωσε στιγμές λειτουργικής πληρότητος. Στην ευχαριστιακή σύναξη προεξήρχε ο Θεοφιλέστατος Επίσκοπος Μελιτηνής κ. Μάξιμος, τιμώντας τον προστάτη του Άγιο, πλαισιούμενος από κληρικούς που προσήλθαν για να συμμετάσχουν στη χαρά της εορτής.**

Στο ιερό βήμα παρέστησαν και συλλειτούργησαν οι Αρχιμανδρίτες π. Βησσαρίων και π. Χριστόδουλος Κοκλιώτης, οι Πρωτοπρεσβύτεροι π. Χρήστος Στεφάνου και π. Θεόδωρος Πολυβίου, καθώς και ο Πρεσβύτερος π. Γεώργιος Αθανασόπουλος.

Κατά τη διάρκεια της Θείας Λειτουργίας ετελέσθη η εις Διάκονον χειροτονία του

κ. Αδάμ Κυριάκου Γεωργίου, ενός νέου ανθρώπου, εγγάμου, που προστίθεται στις τάξεις του κλήρου. Στην προσφώνησή του προς τον χειροτονούμενο, ο Θεοφιλέστατος κάλεσε τον νέο Διάκονο να ενδυθεί την ταπείνωση ως μόνιμη εσωτερική κατάσταση και όχι ως εξωτερικό ένδυμα.

Τον θείο λόγο εκήρυξε ο ιερατικώς Προϊστάμενος του Καθεδρικού, Αρχιμανδρίτης π. Χριστόδουλος Κοκλιώτης, ο οποίος αναφέρθηκε εκτενώς στην ομολογία της πίστεως που χαρακτήρισε τον βίο του Αγίου Μαξίμου. Συνέδεσε το θεολογικό σθένος του Ομολογητού με τις απαιτήσεις των καιρών μας και εξέφρασε τις ευχές του ιερού κλήρου και του λαού προς τον άγοντα τα ονομαστήριά του Επίσκοπο.

Προ της απολύσεως, ο Θεοφιλέστατος εξέφρασε τις ευχαριστίες του προς τους λειτουργούς και το εκκλησίασμα για την παρουσία και τη συμπροσευχή τους. Η σύναξη ολοκληρώθηκε με εορταστικό γεύμα που παρετέθη στην αίθουσα του Ναού προς τιμήν του εορτάζοντος Ιεράρχου και του νεοχειροτονηθέντος, στο οποίο παρακάθισαν όλοι οι πιστοί.

## Ακολουθεί η ομιλία του Θεοφιλεστάτου:

Τέκνον ἐν Κυρίῳ ἀγαπητόν, Ἀδάμ,

Ἵστασαι σήμερον ἐνώπιον τοῦ φρικτοῦ Βήματος, εἰς ὃ «παρακύψαι Ἄγγελοι ἐπιθυμοῦσι», μέλλων ἐνδύσασθαι τὴν τῆς διακονίας χάριν, οὐκ ἐξ ἀνθρωπίνης ἐπινοίας ἢ ἀξίας ὁρμώμενος, ἀλλ’ ἐκ τῆς ἀφάτου συγκαταβάσεως τοῦ Δομήτορος τῆς Ἐκκλησίας, τοῦ καλέσαντός σε ἐκ σκότους εἰς τὸ θαυμαστὸν Αὐτοῦ φῶς. Ἡ κλῆσις αὕτη, πυρὸς φλέγουσα μᾶλλον ἢ δόξης κοσμικῆς ἀπαύγασμα τυγχάνουσα, ἀπαιτεῖ ψυχὴν γρηγοροῦσαν καὶ νοῦν πρὸς τὰ ἄνω νενευκότα, ἵνα μὴ τῷ βάρει τῆς ὕλης καθελκυσθῇς, ἀλλὰ πτέρυξι πνευματικαῖς πρὸς τὴν ἄυλον λατρείαν ἀναχθῇς.

Εἰσέρχῃ ἤδη εἰς στάδιον ἀγώνων πνευματικῶν, μιμητὴς γινόμενος τοῦ Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου, ὅστις «πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ» (Πράξ. ς΄, 8), ἀποβλέπων οὐχὶ εἰς τὸν ἔπαινον τῶν βροτῶν, ἀλλ’ εἰς τὴν ἀκολουθίαν τοῦ Δεσπότου Χριστοῦ, τοῦ νίψαντος τοὺς πόδας τῶν Μαθητῶν. Καθὼς Ἐκεῖνος οὐκ ἦλθε διακονηθῆναι ἀλλὰ διακονῆσαι, οὕτω καὶ σὺ ὀφείλεις ἑαυτὸν προσφέρειν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ, λησμονῶν μὲν τὰ σαυτοῦ, μεριμνῶν δὲ διηνεκῶς περὶ τῶν τοῦ Κυρίου.

Φέρεις ἐπὶ τῶν ὤμων σου, σὺν τῷ ὀραρίῳ τῆς διακονίας, καὶ τὸν χρηστὸν ζυγὸν τῆς οἰκογενείας, ἔχων σύζυγον καὶ τέκνα, ἅπερ λιμένα γαλήνιον καὶ «κατ’ οἶκον ἐκκλησίαν» λογίζου. Ὁ γὰρ καλῶς τοῦ ἰδίου οἴκου προϊστάμενος, δόκιμος καὶ ἐν τῇ

τοῦ Θεοῦ Ἐκκλησίᾳ ἀναδεικνύεται. Μνημόνευε, ὅθεν, τῶν εὐεργετησάντων σε καὶ χειραγωγησάντων τὴν νεότητά σου πρὸς τὰ κρείττω, ἐξαιρέτως δὲ τοῦ πνευματικοῦ σου πατρός, Πρωτοπρεσβυτέρου Θεοδώρου Πολυβίου, τοῦ τὴν σὴν ψυχὴν δι' ἐπιπόνου καλλιεργείας ἑτοιμάσαντος, καὶ τοῦ Πανοσιολογιωτάτου Ἀρχιμανδρίτου Χριστοδούλου Κοκλιώτου, ὅστις ὡς ἀδελφὸς γνήσιος καὶ παραστάτης ἀκλόνητος σοι συμπαρίσταται, στηρίζων τὰ διαβήματά σου ἐν τῇ στενῇ καὶ τεθλιμμένῃ ὁδῷ τῆς ἱερωσύνης. «Πρόσεχε οὖν σεαυτῷ». Ἡ διακονία οὐ συνιστᾷ ἀξίωμα ἐξουσίας, ἀλλὰ διαρκῆ κένωσιν καὶ προσφοράν. «Ἔχων τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει» (Α' Τιμ. γ´, 9), γίνου τοῖς πιστοῖς «τύπος» ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι. Μὴ ζήτει τὰ ὑψηλά, ἀλλὰ τοῖς ταπεινοῖς συναπάγου, γινώσκων ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Ἔσο ὡς λύχνος καιόμενος καὶ φαίνων, σκοπὸν ἔχων μοναδικὸν τὴν φανέρωσιν τοῦ Φωτὸς τοῦ Χριστοῦ τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις.

Κόμιζε δὲ κατὰ τὴν εὔσημον ταύτην ἡμέραν καὶ τὰς πατρικὰς εὐχὰς καὶ εὐλογίας τοῦ Ποιμενάρχου ἡμῶν, τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Θυατείρων καὶ Μεγάλης Βρεταννίας κ. Νικήτα, οὗτινος τὴν μέριμναν καὶ τὴν ἀγάπην ἀδιαλείπτως ἔχεις σκέπην καὶ κραταίωμα ἐν τῇ ἱερατικῇ σου πορείᾳ. Ἐν τῷ ἱερῷ τούτῳ σεβάσματι τοῦ Πρωτοκλήτου, ἔνθα ἡ χάρις πλουσίως ἐκχέεται, κλῖνον τὸν αὐχένα τῇ θείᾳ βουλῇ καὶ δέξαι τὴν δωρεάν, ἵνα, καλῶς διακονήσας, «βαθμὸν ἑαυτῷ καλὸν περιποιήσῃ καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ».

Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ ὁ Θεὸς τῆς εἰρήνης καταρτίσαι σε ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα Αὐτοῦ. Ἀμήν.

Ἐν Μπέρμιγχαμ, τῇ 21ῃ Ἰανουαρίου 2026

† ὁ Μελιτηνῆς Μάξιμος



































Φωτογραφία: NikAntoniPhotography